παρασκευάσαι, συχνοὶ τῶν ἐν ταῖς βασιλείοις αὐλαῖς ὑπηρετουμένων, οὐδ' ἀκαρῆ ἡσυχίαν ἄγοντες, ἀλλ' ἄνω καὶ κάτω φερόμενοι, τῶν δ' ἐνδοτέρω βουλευμάτων πόῤῥω ἱστάμενοι, καὶ τῶν ἀπὸ τῆς ἀποβάσεως ἐπικρεμαμένων κινδύνων ἔξω ὄντες, χερσὶ δὲ μόνον καὶ ποσὶ τοῖς ἄρχουσιν ὑπουργοῦντες, εὐτυχέστεροι ἂν εἶεν τῶν ἐν ἀγροῖς, καὶ περὶ τὰς βαναύσους πονουμένων τέχνας. Οὐκοῦν τῆς κατὰ ψυχὴν γαλήνης ἐκ τῆς ποιᾶς τῶν σωμάτων κράσεως ἀναφυομένης ὡς τὰ πολλὰ, καὶ ἐν ἀγρῷ, καὶ ἐν ἄστει, καὶ ἐν ἀνθηρῷ βίῳ, καὶ ἐν πόνοις ἔστιν εὑρεῖν εὐτυχοῦντας καὶ δυστυχοῦντας.

Γ'. Αἱ διάφοροι τῶν βίων ἰδέαι οὐ κατὰ μόνην τὴν ἔσω διάθεσιν, ἀλλὰ καὶ κατὰ τὴν ἔξω πρόσοψιν ὀφείλουσιν ἀλλήλων διακεκρίσθαι, ἵνα μὴ πολλὴ ἀκοσμία καὶ ταραχὴ ἐπεισκωμάσῃ τῷ βίῳ. καὶ δένδρα δῆτα καὶ ζῶα οὐχὶ μόναις ποιότησι καὶ ὠφελείαις ἀλλήλων διενήνοχεν, ἀλλὰ καὶ φύλλοις καὶ δέρμασι καὶ τῷ λοιπῷ κόσμῳ κεχωρίδαται· τοσοῦτον γὰρ ἰσχύει ἡ ἐπιπόλαιος σκευὴ· καίτοι πολλοῖς ἥκιστ' ἀναγκαία εἶναι



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

δοκοῦσα, ὥστε κἂν εἴη περίθετος, ἀληθείας ἐνίοτε παρέχειν ὑπόνοιαν, καίτοι λανθάνοντος ὑπὸ λεοντῇ ὄνου, καὶ ὑπὸ κῳδίῳ λύκου. καὶ ποιμὴν ἄρα τὰ μὲν ἄλλα τὴν ποιμαντικὴν μὴ λυμαινόμενος, λύκου δὲ περιβαλλόμενος δέρμα αὐτίκα διασκεδάσει, καὶ κατὰ κρημνῶν ὤσει τὸ ποίμνιον, ἅτε τῆς τῶν πολλῶν ἁπλότητος τῇ ἐπιπολῇ τῶν πραγμάτων κεχηνυίας, μηδ' ἰσχυούσης ἐς βάθος χωρῆσαι, ἀλλ' ἐκ τῶν πρὸ ὀμμάτων περὶ τῶν ἀφανῶν φερούσης τὴν ψῆφον. καὶ διὰ ταῦτα δὴ τοὺς ἀποταξαμένους τῷ κόσμῳ προσήκει μὴ ὀλιγωρεῖν τῆς καταλλήλου περιβολῆς καὶ ἀγωγῆς καὶ ἀναστροφῆς τῆς ἁρμοζούσης τῇ ἰδέᾳ τοῦ βίου, ὃν ἅπαξ ἐνεστερνίσαντο, ἐξίσου εὐλαβουμένους τὸ ἐν ὀφθαλμοῖς τῶν πολλῶν μετὰ κόμπου ζῶντας ἐκπομπεύειν τὸ λιτὸν τοῦ βίου, καὶ τὰς ἀρετὰς, καὶ τὸ ἔν τε ἐσθῆτι καὶ βρώμασιν ἀδιάφορον καὶ ὀλίγωρον, τὸ πλῆττον τὸ συνειδὸς τῶν ἀδρανεστέρων, καὶ εἰς ἀπόνοιαν ὑποσύρον τοὺς πολλούς. Τὰ γὰρ ἐνδόμυχα τῆς ψυχῆς μόνῳ Θεῷ γνωστὰ, ἡ δὲ τῶν ἀνθρώπων ἀσθένεια οὐκ ἔχει λαβεῖν ἄλλοθεν ἐχεγγύους

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ. της Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

πίστεις λανθανέσης ἀρετῆς μὴ χειραγωγεμένη, ἢ εἰς μίμησιν ἀνεγειρομένη ὑπὸ τῆς φαινομένης τῦ βίε κοσμιότητος. ἐδὲ λέληθε τὲς ἀνερευνῶν ἐκ ὀκνῦντας τῶν ἐπ᾽ ἀρετῇ λαμψάντων τὲς βίες, ὡς οἱ θεσπέσιοι ἐκεῖνοι ἄνδρες, καίτοιγε δαψιλείᾳ θείας χάριτος πολλάκις ἀναρπαζόμενοι εἰς ὑψηλοτάτες βαθμὲς μελέτης ἢ θεωρίας· ἀλλ᾽ ὅμως τὸ ἐν ὕψει ἀπόκρημνον, ἢ ἢ κινδύνε μεσὸν διὰ τὴν μοχθηρίαν τῆς σαρκὸς ἢ τὴν ἰταμότητα τῶν ἐνύλων παθῶν λίαν ὀρρωδῦντες, ὔτε προσευχῆς, ὔτε νηςείας, ὔτε τῆς ἄλλης τῦ βίε λιτότητος ὠληγορηκότες φαίνονται.

Δ΄. Πασῶν τῶν ἀρετῶν ἡ ἀγάπη τοσῦτον ὑπεραίρει, ὥςε τὲς ὑπ᾽ αὐτῆς ἀναπεφλεγμένες ὁποιεῦν πάθες ἀνωτέρω πη ἱδρῦσθαι, ἢ ὅλως ἐκτακέντας τῷ θείῳ ἔρωτι, ἢ τῦ εἶναι μονονεχὶ πεπαυμένες, ἐν τῷ Θεῷ ζῆν· ἢ μὴ μόνης ὑπερηφανείας ἐλευθέρες εἶναι, ἀλλὰ ἢ αὐτῆς τῆς ταπεινώσεως ὑπερβεβηκέναι τὸν βαθμὸν, καίτοι δι᾽ αὐτῆς ὡς δι᾽ ἀσφαλῦς κλίμακος εἰς τὴν τελειότητα τῆς ἀρετῆς ἀφιγμένες· ἢ ἀλη-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

θὲς μέν ἐστι τὰς ἐπὶ τῷ βωμῷ τῆς ταπεινοφροσύνης προσφερομένας τῷ Θεῷ θυσίας λίαν εὐπροσδέκτους εἶναι. τὸ δ' ἐν τῷ πυρὶ τῆς ἀγάπης ὁλοκαύτωμα προσφέρειν ἑαυτὸν πᾶσαν ἄλλην διάθεσιν ἐν οὐδενὶ λογισάμενον καὶ πυρπολήσαντα, παντοίας θυσίας ὑπερφυέστερόν ἐστι. μόνη γὰρ ἡ ἀγάπη καὶ ἐν τῇ ὑπερβολῇ φυλάττει τὴν ἑαυτῆς ἀξίαν οὐκ εἰς γειτνιῶσαν κακίαν ἐκπίπτουσα, ἀλλὰ διηνεκῶς ἐπιδιδοῦσα.

Ε'. Πολλῶν τινων πραγμάτων συνδρομῇ μόλις συγκροτεῖται ἡ τοῦ συνεχοῦς εὐτυχία. ἑνὸς δὲ καὶ μόνου τῶν εἰς εὐδαιμονίαν τεινόντων ἀπουσία ἐτάραξε τὴν γαλήνην, ἔπεισε τὴν ἀσφάλειαν, τῆς δ' ἀφροσύνης πολυσχιδοῦς οὔσης, καὶ ἑκάστου τῶν ἀφρόνων ὡς τὰ πολλὰ ἐνί τινι ἐπτοημένου, ἡ ἐπιτυχία τοῦ ποθουμένου πάσης ἄλλης ἐλλείψεως λήθην ἐμποιοῦσα, εὐδαιμονίας αὐτῆς ἐνίησιν ὑπόληψιν.

ϛ'. Καὶ οὗτός ἐστι χαρακτὴρ ἐπίσημος τῶν συνεχεστέρων. καὶ γὰρ εἴγε πάντες εὐτυχεῖν αὐτοὺς ὑπειλήφασι, μηδὲν ἧττον ὅμως ἀθυμοῦσιν, εἰ μὴ κατὰ ψυχὴν βεβαίαν εὐδαιμονίαν ἔχειν αὐτοὶ ἑαυτοὺς ἐπιγινώσκοιεν, οὐ ταῖς ἀλλοτρίαις

Ε.Υ.Δ.τ.Φ.Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2005

ὑπολήψεσιν, ἀλλὰ τῇ ἔνδον ἀσφαλεῖ κτήσει τὴν εὐτυχίαν κρίνοντες.

Ζʹ. Οὐ μόνον τὸ μετὰ στερρότητος παντάπασιν ἀποποιεῖσθαι τὰ ἡδέα εἰς διαμονὴν ϗ φυλακὴν σωφροσύνης ἱκανὸν εἰσαεὶ διατελεῖ· ἀλλ' οἱ συνεχεῖς ἐνίοτε ϗ ἐπιλίγδην τῶν ἡδέων ἀψάμενοι, τάς τε πρώτας ὁρμὰς τῆς φύσεως ἁμωσγέπως ἀφοσιωσάμενοι· αὐτίκα δὲ τὸ βλαβερὸν ἀποπτύσαντες, ϗ τοῖς ἀπὸ τοῦ ὀρθοῦ λόγου ὅπλοις ἑαυτοὺς περιφραξάμενοι, ϗ ἀσθενεστέροις, ἅτε τῇ ἐλπίδι τῆς νίκης ἠπατημένοις ἐμπεσόντες ϗ συμπλακέντες τοῖς πάθεσι, λαμπρὸν κατ' αὐτῶν αἴρουσι τρόπαιον.

Ηʹ. Ἔνιοι παρεικάζουσι τῇ ὑγείᾳ τὴν φρόνησιν, ϗ τοῦτο, φασίν, εἶναι τῇ ψυχῇ τὴν φρόνησιν, ὅπερ ὑγεία σώματι. ἀλλ' ἔμοιγε δοκεῖ πολὺ διενηνοχέναι τὴν ὑγείαν τῆς φρονήσεως· ἡ μὲν γὰρ ὑγεία εὐθυμίαν παρασκευάζει τῷ σώματι, ϗ λήθην ἐμποιεῖ τῶν τε παρεληλυθότων, ϗ τῶν ἴσως ἐνσκηψόντων νοσημάτων ὀλιγωρίαν· ἡ δὲ φρόνησις λίαν ἐστὶ περιδεὴς, τῶν τε παρελθόντων μνήμων, ϗ περὶ τῶν ἐν-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘ. ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2005

δεχομένων συμβῆναι ὑπονοίας μεστή. διὸ οὐ μόνον οἴκοθεν δῆθεν ἐπιδαψιλευομένη οὐκ οἶδε διαχέειν ϗ ψυχαγωγεῖν τὸ ἀθυμοῦν, ἀλλ' εἴπου τις θυμηδεία ἐπανθείη τῇ ψυχῇ, κἀκείνην τῇ σοβαρότητι ϗ ἐμβριθείᾳ εἴωθε καταπιέζειν. ὡς ταπολλὰ ἡ φρόνησις.

Θ'. Ὅτι πολλοῦ ἄξιον ἐν τῷ βίῳ χρῆμα βασιλεία πᾶσίν ἐστιν ὁμολογούμενον· τὸ δ' ἀπὸ τῆς τοῦ βασιλεύοντος γνώμης ἠρτῆσθαι τοσούτων ἀνθρώπων τύχας, ϗ ἐπὶ τῇ ἐκείνου σαλεύειν προαιρέσει, εἰς ἔκπληξιν ἄγει τοὺς ἀναπολοῦντας. Διὸ πολλοὶ δέει τυραννίδος μήτε τὴν ἔννομον ὑφιστάμενοι μοναρχίαν ἐν ἀριστοκρατουμέναις, ἢ ϗ δημοκρατουμέναις πόλεσι μετριωτέρᾳ τύχῃ τὸν βίον γεωργεῖν ἀσπάζονται, ἢ ἐν ἀγωνίᾳ διηνεκεῖ ὑπὸ Βασιλέως ὀφθαλμοῖς διατελεῖν. ἵνα δὲ ἡδυτέραν ἅμα ϗ ἀσφαλεστέραν παρασκευάσωσι τὴν ἐλευθερίαν ταῖς πόλεσι ταῖς μὴ βασιλευομέναις, πολλὰ ϗ χαλεπὰ βλασφημεῖν εἰώθασι, ϗ μυρία δεινὰ προσάπτουσι τῷ κοσμιωτάτῳ τῆς βασιλείας ὀνόματι, μηδαμῶς ἐνθυμούμενοι, ὡς ἐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2005

πειδὰν ἀριστοκρατίαι καὶ δημοκρατίαι (ὥς γε εἴωθε τὰ ἀνθρώπινα εἰς τὸ χεῖρον ὑποσύρεσθαι) εἰς ὀλιγαρχίαν, ἢ ὀχλοκρατίαν ἀπολισθήσωσι, πολυκέφαλοι ἀποβαίνουσι τυραννίδες. ἀλλὰ καὶ ἐντεῦθεν ὡς ἔμοιγε δοκεῖ ἁπαντᾷν εἴωθε τὰ περὶ τῶν μοναρχιῶν ὀνείδη· ἐπειδὴ τὸ μὲν ὑπήκοον ὁσημέραι ἀποδύρεται καὶ καταβοᾷ καὶ ἐς ὑπερβολὴν δεινοπαθείας καλλωπιζόμενον διέξεισι τὴν περὶ τὸν οἶκον ἀκαιότητα καὶ κακουχίαν, μὴ μόνον εἴτι εἰς τὸ κοινὸν ἐπιτάγματι βασιλικῷ ὑπὲρ τῆς ἰδίας ἀσφαλείας καὶ σωτηρίας ἐτέλεσαν εἰς ὄγκον αἴροντες, γνώμης δὲ μοχθηρίᾳ αὐχμὸν, καὶ χάλαζαν, καὶ ὑδάτων πλημμύραν, καὶ γυναικὸς καὶ παίδων ἐπιβουλὰς, καὶ ἄλλα μυρία, ἅττα ἐπινέμεσθαι φιλεῖ τὸ ἀνθρώπινον φῦλον ἐπιγράφονται τῇ Βασιλέως τύχῃ. οἱ δὲ τὴν διαβολὴν τοῦ ὀνόματος, καὶ τὸ μὴ δόξαι τυραννικοὺς εἶναι εὐλαβούμενοι οἱ Βασιλεῖς, μεγαλοψυχίας τε καὶ ἠπιότητος ὑπερβολῇ ὀκνοῦσι κολάσαι γλῶσσαν ἀκολασταίνουσαν, καὶ ἵνα μὴ ἐς αἰκίας χωρήσωσι, φράττουσι τὰ ὦτα ἀποδιοπομπούμενοι τοὺς ἀφηγήσασθαι βουλομένους τὰς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

σκαιὰς φήμας, ϗ τὰς βλασφημίας· εἰδέ πη
ξυμβαίη ὑπερβολὴν κακίας κολασθῆναι, κᾀκεῖ
πολὺ τὸ μέτριον ἐπανθεῖ. ὥστε πολλάκις, ἵνα
μὴ παραδειγματιζομένη ϗ στηλιτευομένη ἐπι-
πλέον γένηται διαδόσιμος ἡ κακία, τὸ μὲν
ἁμάρτημα ἐν παραβύστῳ σβέννυται, αἱ δὲ αἰ-
τίαι τῆς κολάσεως μηδαμῶς ἐκπομπεύονται,
ἀλλ' ἀπὸ τῆς τοιαύτης πολιτικῆς οἰκονομίας
συμβαίνει ὕλην ἑτέραν ὑποχορηγεῖσθαι τοῖς
πολλοῖς τοῦ διασύρειν Βασιλέα τε ϗ τοὺς περὶ
αὐτὸν, πλεονεξίᾳ ϗ φθόνῳ ἀνατιθεμένους τὴν
φθάσασαν παιδείαν, καίτοιγε εἰ βουλητὸν εἴη
Βασιλεῦσιν ἐπιλεκτοῦ διϊέναι ὁπόσα φέρουσιν
ἀνεχόμενοι, ἀχαριστοῦντος, μὴ καλῶς ὑπηρε-
τουμένου, τὰ προσταττόμενα, μὴ μετ' εὐπειθεί-
ας ἀποτελοῦντος, ἀλλὰ περιέργως παρερμη-
νεύοντος. πολλάκις δὲ λυττῶντος ϗ λακτί-
ζοντος τοῦ ὑπηκόου, φανερωτέρα ἂν ἐγεγόνει
ἡ τῆς αὐτῶν γνώμης ἐπιείκεια ϗ ἐξαίσιος φι-
λανθρωπία. Ἔπεισι δέ μοι θαυμάζειν τῶν οἰο-
μένων οὐ δύνασθαι Βασιλέα τοῖς ὑπηρετουμένοις
ἐπιδαψιλεύεσθαι, εἴτε σώματος ὑγείαν, εἴτε

Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2005

ψυχῆς εὐθυμίαν. κἀντεῦθεν νομιζόντων πολλοῦ ὠνεῖσθαι τοὺς αὐτοῖς προσπελάζοντας τὰς χορηγουμένας εὐποιΐας. Αἱ γὰρ γενναῖαι καὶ εὐγενεῖς ψυχαὶ, οὐ μόνον εἰ τύχοιεν νόσῳ πιεζόμεναι φιλοφροσύνῃ τοῦ ἄρχοντος ἀναῤῥαΐζουσιν, ἀλλὰ καὶ τρέφονται, καὶ ζῶσιν ἱλαρῶς αὐτοῦ προσβλέψαντος καὶ προσηνῶς προσμειδιῶντος, καὶ εἰ μυρίαις λύπης ἀφορμαῖς οἴκοι ἀποκναιόμενοι τύχοιεν, ἀπολαύσει ὅμως τῆς ἀπὸ Βασιλέως εὐνοίας, πᾶσαν ἀθυμίας τῆς ψυχῆς ἀποσοβήσαντες, ἥδυτατα βόσκουσι τὸν βίον. Ὁπόσοι δ' ἐπικεχηνότες ἀργυρίῳ καὶ χρυσίῳ ταύτῃ μόνον μετροῦσι τὴν Βασιλέως εὔνοιαν, κατὰ νοῦν ἀναπολείτωσαν τοὺς ἐπὶ τῇ διοικήσει τοῦ κρατοῦντος κειμένους θησαυροὺς, ἐπὶ φυλακῇ καὶ ἀσφαλείᾳ τοῦ κοινοῦ εἰς δέον ὀφείλειν ἀναλίσκεσθαι. Τὸ γὰρ ἐλευθέριον οὐχ ἁπλῶς ἐφεῖται τοῖς βασιλεύουσιν, οὐδ' ἔτως ἀδρανοῦς ἀρετῆς ἤρτηται ἡ παρὰ τοῦ ὑπηκόου εὔνοια καὶ εὐπείθεια, ἥτις ἔχει βεβαίαν κρηπῖδα τὴν κατὰ φύσιν διαδοχὴν, ἢ τὴν φθάσασαν ἔγνομον αἵρεσιν, καὶ ἐπ' αὐτῇ τοίνυν ἀραρότως ἵ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

δρυται. προσέτι δὲ πολλοὺς εὖ ποιητέον Βασιλεῖ, ὥστε μηδαμῶς παράδοξόν ἐστιν εἰ τὸ δαψιλὲς οὐκ ἐμπίπλησι τὴν ἑκάστου πλεονεξίαν· καὶ τοῦ Θεοῦ γὰρ ὕοντος ὁσημέραι, πολλῶν ἀκήκοαμεν γεωργῶν αὐχμὸν ἀποδυρομένων.

Γ. Πολλάκις ἡ τῶν ἄλλων ἐπιτυχία μεγάλης ἡμῖν γέγονε ζημίας πρόξενος, καὶ ἃ γεγόνασιν ἑτέρῳ τῳ εὐκλείας καὶ μακρᾶς εὐτυχίας παρεκτικὰ, ἐξωλείας ἄλλῳ γέγονεν αἴτια· τὰ δὲ μὴ ἀποβάντα ἐνίοις κατὰ ῥοῦν, ἄλλοις ἀντιποιησαμένοις κατὰ θυμὸν προὔβη. μηδὲν τοίνυν τῶν ἐν ἀνθρώποις βέβαιον, ἀλλὰ τὴν συνδρομὴν τῶν δευτέρων αἰτιῶν τῆς ἀνωτάτω προνοίας ἀφανέσιν ἡμῖν τρόποις ἀνακεραννύσης, καὶ διϊθυνούσης ποικίλην ἔχει τὴν ἀπόβασιν ὁ ἐπὶ μέρους βίος. οὐκ ἐπὶ παντὶ ἄρ' ἐγχειρήματι κρατεῖ τὸ περιέργως ἀποβλέπειν ἐς τὴν κατάστασιν τῶν ὡμιληκότων ὁμοίῳ βίῳ, ἢ χαυνούμενον τοῖς ἀπαντήσασιν ἑτέροις χαλεποῖς, ἤγ' ἀναπτερούμενον τῇ ὠφελείᾳ καὶ ῥαστώνῃ· προσφορώτερον δ' ἂν εἴη τὴν ἰδίαν ἐπιτηδειότητα καὶ δύναμιν καλῶς ἀνερευνήσαν-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

τα, καὶ τῇ Φρονήσει ἀμωσγέπως χρησάμενον τὴν ἀπόβασιν τῶν ἔργων τῆς διὰ πάντων ἡκούσης προνοίας ταῖς ἱεραῖς παραδιδόναι παλάμαις.

ΙΑ΄. Τὸ Νομίζειν τοὺς ἄλλους ἥκιστα Φιλίας ἐρᾶν, ἀνδρὸς Φιλίαν ὀλιγωροῦντος, ἐπίσημος ἂν εἴη κηλίς. οὐ μόνον γὰρ οἱ χαμαιζήλῳ ὁμιλοῦντες βίῳ ἀσφαλῆ καὶ βεβαίαν Φιλίαν ζητοῦσι κύκλῳ περιϊόντες, καὶ ἀγαθῇ τύχῃ ἐπιτυχόντες ἐνίοτε, θείῳ τῷόν τι χρήματι κομιδῇ αὐτοῦ περιέχονται, μήτε οὐσίας, μήτε τέκνων ἔνιοι Φειδόμενοι ἐπὶ Φίλου Φυλακῇ (πολλοὺς γὰρ ὁρῶμεν καὶ αὐτῶν τῶν ἰδιωτῶν ἐγγυησαμένους ὑπὲρ Φίλων τῶν ὄντων γεγυμνῶσθαι, καὶ ἐν εἱρκτῇ ἐν αὐχμῷ πολλῷ συχνὸν διατρῖψαι χρόνον) ἀλλὰ καὶ αὐτοὶ οἱ Βασιλεῖς, οἳ πολλῷ τῷ μέσῳ τῶν ἄλλων ἀνθρώπων ὑπερανεςήκασι, καίτοι λίαν πεφεισμένως μεταδιδόντες τοῖς ἄλλοις τῆς ἰδίας δόξης, τοὺς Φίλους μέντοι γε οὓς ἐξαιρέτῳ ὀνόματι Φιλουμένους καὶ οἰκείους ὀνομάζουσι κοινωνοὺς ποιοῦνται τῆς ἀρχῆς, ἵνα ἀδεῶς ἀναπετανύντες αὐτοῖς τὰ τῆς ψυχῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Επιμέλεια Κ.τ. Π. ΙΩΑΝΝΙΝΑ 2005

ταμεῖα, ἀμοιβαίως ἀπολαύωσι τῶν ἀπὸ τῆς φιλίας καλῶν.

ΙΒ΄. Ἀληθεύει μὲν ἐνίοτε τὸ τυφλοῦσθαι τὸ φιλοῦν περὶ τὸ φιλούμενον, ἀλλ' ὡς τὰ πολλὰ οὐκ ἐν τῷ νοΐ, ἐν δὲ ταῖς εἰς τὰ ἔξω χωρούσαις πράξεσιν ἀμβλυωπεῖν πως φαίνεται τὸ σφοδρὸν τῆς ἀγάπης. ὁ γὰρ νοῦς ἀνετόν ἐστι χρῆμα καὶ ἐλεύθερον, οὔτε τοῖς μάλα βιαίως κατεξανισαμένοις πάθεσιν ἐνδιδοὺς, καὶ ἐν αὐτῇ δὲ τῇ ἥττῃ ἀήττητον φυλάσσει τὸ συνειδὸς, καὶ ἐν τῷ τεθολωμένῳ τῆς φαντασίας ἐσόπτρῳ περιαθρεῖ καὶ ἀποκρίνει τὸ ὀρθὸν τοῦ φαύλου· ὑποχωρεῖ δ' ἐνίοτε τοῖς πάθεσιν, ὥσπερ ὑπείκουσι τοῖς περὶ τὴν θρησκείαν συγκροτουμένοις δικαστηρίοις, οἱ τοῦ φόβου νεανιευομένου, τὴν προτέραν δόξαν μέχρι χειλέων ἐξομνύμενοι, τοῦ νοὸς, καὶ ἐς τοὐπιὸν εἴτε ἑκόντος εἴτ' ἄκοντος τῆς ἐνιζηκείας ὑπολήψεως ἀπρὶξ ἀντεχομένου. οὕτως ἄρα καὶ οἱ ἐρασταὶ βλέπουσι μὲν καὶ ἀναψηλαφοῦσι τάτε ἐν τῷ προσώπῳ, καὶ μάλιστα τὰ ἐν τῇ ψυχῇ τῆς ἐρωμένης ἐλαττώματα, χαρίζονται δὲ τῷ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΦΙΛΟΣ
Ε.Υ.Δ της Κ.τ. Π
ΙΩΑΝΝΙΝΑ 2005

κάλλει ὁποιαοῦν ἐλλείματα· τοῦ δὲ κάλλους ἀπομαρανθέντος ἔνιοι καὶ τὴν μνήμην ἐκείνου τιμῶσι, τοῦ τ' ἔρωτος εἰς οἶκτον μεταπεσόντος οὐ διαλείπουσι περιέπειν τὸ ἐρώμενον, οἱονεὶ πολυτελοῦς εἰκόνος ἀμεμηνὰ ἴχνη, καὶ ἀμυδρὰς σκιὰς γεραίροντες. συχνοὶ δὲ διηνεκῶς ἀστατοῦντες, καὶ κραδαινόμενοι γνώμης σκαιότητι, προφάσει τῆς προσώπῳ τε καὶ ἤθη ἐπιπολαζούσης ἀμορφίας τῆς πρὶν δουλείας ἑαυτοὺς ὑπεξάγουσιν.

ΙΓʹ. Ὁ μὲν χαμαὶ ἐρχόμενος ἔρως Ἀφροδίτης πανδήμου ὑπάρχων γονὴ, χαμαιζήλοις ψυχαῖς ἐπιφυόμενος, ἔρημός ἐστι παντοίας ἀρετῆς, καὶ εἰς ἄλογον τάξιν καταστπᾷ τοὺς αὐτὸν μετιόντας, τὸ δὲ τοὺς ἀληθῶς ἐρῶντας, καὶ τῶν εἰκόνων τοῦ καλοῦ ἐπὶ γῆς περιεχομένους, καὶ μονονουχὶ προσφυομένους ἀξιαγάστῳ τε μεγαλονοίᾳ πρὸ ὀμμάτων τοῦ ἐρωμένου πᾶσαν ἀρετὴν ἀσκοῦντας, γυμνοὺς φρονήσεως εἶναι νομίζειν, οὐκ ἂν εἴη διανοίας ἀσφαλοῦς· μάρτυς δ' ἐχέγγυος ὅ,τε παρεληλυθὼς, καὶ ὁ παρὼν χρόνος. ἔρως γὰρ ἥκων εἰς ἀκρότητα, ποίοις

ἀγαθοῖς οὐκ ἐπλούτισε τῶν ἅπαξ αὐτῷ μυηθέντων τὰ στήθη; θήγων εἰς ἀνδρείαν, καὶ συγκροτῶν εἰς ἀγχίνοιαν. ἀπάγει δ᾽ οὐ μόνον ἀδικίας σώφρων ἔρως, ἀλλὰ καὶ ῥυπαρίας ἁπάσης ἀπείργει, μεγαλοψυχίας, καὶ μεγαλοπρεπείας ἐμπλήσας. περὶ δὲ σωφροσύνης περιττόν ἐστι καὶ λέγειν· ἀληθῆ γὰρ σωφροσύνην ἐκεῖνος μόνος οἶδε πρυτανεύειν, ψυχῆς δὲ σωφροσύνη μήτε σοφίας, μήτε δόξης; μηθ᾽ ὁτουοῦν ἑτέρου ἀντιποιουμένης ἠλιθιότης ἐστὶν ἄντικρυς· πρόσεστι δὲ κἀκεῖνο ἔρωτι σωφρονοῦντι τὸ ῥαδίως μεταβαίνειν ἀπὸ τῆς ὁρωμένης, ἢ φανταζομένης καὶ ἐρωμένης καλλονῆς ἐς τὸ ἀκήρατον καὶ ἀρχέτυπον κάλλος· κατεψυγμένη δὲ καρδία στεῖρα, καὶ ἄγονος οὖσα, οὐδέποτε τίκτει ὅ,τιοῦν καλόν. ἐπειδὰν δ᾽ ἐν αὐτῇ ζῴη σπινθὴρ ἔρωτος, ἀναζωπυρεῖ καὶ διεγείρει τὰς ψυχικὰς δυνάμεις, ὧν ἀενάῳ κινήσει διατεινομένων ἐξάπτεται ὅτι τάχιστα φαεινότατος θείου ἔρωτος πυρσός.

ΙΔ΄. Ἀποκναίει μὲν κατὰ μέσην καρδίαν, δάκνει ἡ ζηλοτυπία τὸν ὑβριζόμενον, ἀλλ᾽

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2005

οὐ παύεται κατακεντᾷν λόγοις τε ϗ ἀμοιβαίοις ἐνίοτε ἔργοις ϗ τὸν ὑβρίζοντα, δίκας δήπουθεν εἰσπραττομένη. Ἔστι γὰρ λίαν εὐφυὴς ζηλοτυποῦσα γυνὴ, ὥστε τά τε ἐλαττώματα τῆς ἀντιπάλου ϗ μισουμένης εἰς μέσον ἄγουσα θριαμβεῦσαι ἀρεταῖς τε ϗ λάμποντι κάλλει, πάσῃ χρωμένη μηχανῇ, ὅσαι ὧραι κηλῖδας ἐπιτρίψασθαι· κἂν ὁ σύνευνος προσποιούμενος ὑπὸ ζηλοτυπίας ϗ συχνῆς τῆς ἐρωμένης ἀναμνήσεως, εἰς μείζονα ἔρωθ᾽ ὑπεκκαίεσθαι ταύτῃ πειρῷτο εἰς σιωπὴν τὴν γαμετὴν συνελάσαι. ἀλλ᾽ ὅμως ἐκείνη οὐ κάμνει τῆς ὑβριζούσης μνημονεύουσα, θρηνοῦσα, κοπτομένη, ϗ σθένει παντὶ, ἢ νόθον ἔρωτα σβεννύουσα, ἢ εἰς ἔννομον οἶκτον ϗ ἄκοντα τὸν ὁμόζυγον ἕλκουσα.

ΙΕ΄. Ἐπὶ γυμνῷ κάλλει σαλεύων ἔρως ὀλιγοχρόνιος, ϗ ἐλέους ἄξιος ἐφημέρῳ ἀπολαύσει γοητευόμενος· ἀρεταῖς δὲ κοσμούμενον κάλλος οὐ δέδοικε ναυαγῆσαι, ἀλλὰ μέχρι γήρως ὡς ταπολλὰ διαμένει, ὑπὸ ἀκηράτων ϗ ἱλαρῶν ἀρετῆς ἀκτίνων, ϗ τῶν ῥυτίδων φαιδρυνομένων· ϗ ἐν τῷ ἀκμάζοντι δὲ τῆς ἡλι-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

κίας ἢ ἀμφιλαφῆς ἀπόλαυσις διδύμε κάλλες, κόσμον ἅμα ϗ εὐτονίαν περιτίθησι τῷ ἔρωτι.

Ις΄. Αἱ ἀρχαὶ τῶν ἐγχειρημάτων ὡς τὰ πολλὰ τῆς ἡμετέρας ἤρτηνται προαιρέσεως, εἰμή γ᾽ ἢ φύσις, ἢ νόμος, ἢ τύχη, ἢ βία ϗ ἄκεσιν ἐνίοτε ἐπιτάττοιεν ἐκεῖνα διαπράττεσθαι, ὧν τὸ τέλος ἀμφίκρημνον. Οὐ μόνον δὲ πειθαρχοῦσιν ἡμῖν ἐπιβάλλει τῶν δεόντων ἀντιλαμβάνεσθαι, ϗ μηδενὸς ἐπὶ τῇ κατορθώσει φείδεσθαι πόνε τῇ κατ᾽ ἀρχὰς ἐξωνεμένης προθυμίᾳ τὸ ἀμφίβολον τῆς ἀποβάσεως· ἀλλὰ ϗ οἴκοθεν ἀντιποιεῖσθαι διαχειρήσεως μεγάλων ἔργων γενναίας ψυχῆς ἐςι δεῖγμα· τοῖς γὰρ ἐπ᾽ ἀρετῆς ἀναῤῥιχωμένοις ἀπρόσιτα ὁποιαοῦν κατορθώσεως ἀπόμοιρα μηδαμῶς ἀχρειοῖ τὸν φθάσαντα πόνον, μᾶλλον δὲ τῇ προαιρέσει κατάλληλον περιτίθησι κόσμον. οἱ δὲ ὑπὸ φιλαυτίας, ἢ ῥαθυμίας διὰ τὸ ἄδηλον τῆς τύχης τὰς ἀξιαγάςες ἐγχειρήσεις παραιτησάμενοι πρὸς τῷ ἀκλεεῖ, εἰς ἐξαισίες πολλάκις ἀκαίρῳ δέει περιπεπτώκασι ζημίας.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

Ἐν τούτῳ δὲ γενομένου τοῦ λόγου, ἐπειδὴ ὁ Ἰάκωβος κατὰ τὰ συγκείμενα ἤδη ἀφικόμενος, κρούει τοῦ κήπου τὴν θύραν, προσδραμεῖν χρεών, καὶ φιλοφρονήσασθαι φίλον, οὗ τὸ ἀγχίνουν καὶ πολύπειρον μειζόνων λόγων ὕλην ἡμῖν ὑπισχνεῖται. οὐδ' ὀκνήσομεν καὶ ἡμῖν ἀνακοινώσασθαι τὰ μὴ παντάπασιν ἀπῳδὰ εἶναι δόξαντα ἐλλογίμων ἀνδρῶν ἀκοαῖς, εἴγε μὴ ὅσα ἔφθημεν διηγησάμενοι ἀηδίας γενόμενα πρόξενα, τὸ σιωπᾶν ἡμῖν ἐπιτάξει.

Τέλος τοῦ α΄. Τμήματος

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2005

# Ἐπιδιορθώσεις.

| Σελίδ. | Στίχ. | |
|---|---|---|
| 5. | 16. | αὐτοὺς |
| 20. | 14. | ξυγχωρεῖ |
| 21. | 17. | παιδείας. |
| 26. | 11. | ἐκλυομένη. |
| 29. | 17. | ἀφὴ |
| 30. | 13. | προσδῶ |
| 30. | 18. | ἐπιμιξία |
| 31. | 1. | τῆς ἀγοτωτάτης |
| 31. | 16. | κεκωλυμένης |
| 46. | 10. | τὴν ἡμέραι |
| 53. | 12. | προχεούσας |
| 62. | 11. | τὰς τῶν ὄντων ἀρχάς |
| 78. | 3. | εὐφυᾶς |
| 85. | 11. | καθειργμέναι |
| 85. | 12. | σαλεύονται, |
| 88. | 12. | φάρμακον |
| 90. | 15. | καθειργμένων |
| 95. | 12. | ῥαδιουργίαν |
| 95. | 20. | παράτου |
| 97. | 7. | φάρμακα |
| 98. | 13. | καὶ ὁμολογῶν ἐπειδὰν ἐξ ἐπιταγῆς |
| 99. | 14. | ἐπετέτραπτο |
| 99. | 16. | οὐ μόνον εἴτι ἐναπέκειτο |
| 106. | 21. | ὁ παρὼν |
| 110. | 14. | πρὸ ὀφθαλμῶν |
| 114, | 6. | ἀποδυομένην |
| 115. | 4. | φιλοσοφοῦντες |
| 121. | 15. | ἴσ. οἴνου |
| 130. | 15. | προσθήκης |
| 139. | 10. | ἀθυμίαν |
| 143. | 8. | ἤθει |